πελοποννήσου στόλω μεγάλω. ποιούμενοι δὲ τὸν
πλοῦν παρὰ τὴν ἀσώπην, εἰς τὸν μέλανα καλούμε- γρ. εὐρ.
νον ἀφικνοῦνται κόλπον. καὶ τυγχάνουσιν ἐν νήσω
τινὶ τῆς θράκης ὁρμισάμενοι. ἣν οὐκ ἔχω εἰπεῖν
εἴτε ἦν οἰκουμένη καὶ πρότερον, εἴτ' ἐρήμη. ἐτίθενται τοὔ-
νομα σύνθετον, ἔκ τε ἀνδρὸς καὶ τόπου σαμοθράκην.
τὸ μὲν γὰρ χωρίον τῆς θράκης. ὁ δὲ, οἰκιστὴς, σά-
μων, υἱὸς ἑρμοῦ καὶ νύμφης κυλληνίδος; ῥήνης ὀνομα-
ζομένης. ἐκεῖ δὲ χρόνον οὐ πολλὴν διαλείψαντες. ὡς οὐκ τρίψ.
εὐμαρὴς. ἦν ὁ βίος αὐτοῖς γῇ τε λυπρᾷ καὶ θαλάττη
ἀγρίᾳ μαχομένοις, ὀλίγους τινὰς λειπόμενοι, ἀπανίσταντο,
πάλιν οἱ πλείους εἰς τὴν ἀσίαν, ἔχοντες ἡγεμόνα τῆς
ἀποικίας, δάρδανον. ἴασος γὰρ ἐν τῇ νήσω κεραυνῷ
βληθεὶς, τελευτᾷ. δημήτρος εὐνῆς ὀριγνώμενος, οἱ δὲ γρ. εὐνῆν
περὶ τὸν δάρδανον ποιησάμενοι τὴν ἀπόβασιν ἐν τῷ
καλουμένῳ νῦν ἑλλησπόντῳ περὶ τὴν ὕστερον κληθεῖ-
σαν οἰκίζονται φρυγίαν. ἰδαῖος μὲν ὁ δαρδάνου μέρος
τῆς στρατιᾶς ἔχων, ἐν τοῖς ὄρεσιν ἃ νῦν ἴδαια ἀπ' ἐκεί-
νου λέγεται. ἔνθα μητρὶ θεῶν ἱερὸν ἱδρυσάμενος. ὄργια
καὶ τελετὰς κατεστήσατο. αἳ καὶ εἰς τόδε χρόνου. δι' ἃ μένουσιν
ἐν πάσῃ φρυγία. δάρδανος δ' ἐν τῇ καλουμένῃ κύτεω,
ναδι, πόλιν ὁμώνυμον αὐτῷ κατασκευάσε, δόντος αὐτῷ
τὰ χωρία. τεύκρου βασίλεως ἀφ' οὗ τευκρὶς τὸ ἀρχαῖ-
ον. ἡ γῆ ἐλέγετο. τοῦτον δὲ ἄλλοι τε πολλοὶ καὶ φανό-
δημος ὅταν ἀττικὴν γράψας ἀρχαιολογίαν, ἐκ τῆς ἀτ-
τικῆς μετοικῆσαι φασὶν εἰς τὴν ἀσίαν, δι' μου ἐξύσσεται
ἕως ἄρχοντα. καὶ τὸ παρέχονται τοῦ λόγου τεκμήρια.
κρατήσαντα δὲ χώρας συχνῆς τε καὶ ἀγαθῆς, καὶ οὐ πολὺ τὸ
ἐπιχώριον ἐχούσης γένος. ἀσμένος τὸν δάρδανον ἰδεῖν, καὶ τὸ
σὺν αὐτῷ παραγενόμενον ἑλληνικὸν. τῶν τε πρὸς τοὺς βαρ-
βάρους πολέμω συμμαχίας ἕνεκα, καὶ ἵνα ἡ γῆ μὴ ᾖ ἔ-
ρημος.